ministère
Éducation
nationale

**EAE LCL 4**
Repère à reporter sur la copie

**SESSION 2009**

# CONCOURS EXTERNE
# DE RECRUTEMENT DE PROFESSEURS AGRÉGÉS

## Section : LETTRES CLASSIQUES

## VERSION GRECQUE

Durée : 4 heures

*Les dictionnaires grec-français Bailly, Georgin et Magnien-Lacroix sont autorisés.*
*L'usage de tout ouvrage de référence, de tout autre dictionnaire et de tout matériel électronique est rigoureusement interdit.*

*Dans le cas où un(e) candidat(e) repère ce qui lui semble être une erreur d'énoncé, il (elle) le signale très lisiblement sur sa copie, propose la correction et poursuit l'épreuve en conséquence.*
*De même, si cela vous conduit à formuler une ou plusieurs hypothèses, il vous est demandé de la (ou les) mentionner explicitement.*

**NB : *Hormis l'en-tête détachable, la copie que vous rendrez ne devra, conformément au principe d'anonymat, comporter aucun signe distinctif, tel que nom, signature, origine, etc. Si le travail qui vous est demandé comporte notamment la rédaction d'un projet ou d'une note, vous devrez impérativement vous abstenir de signer ou de l'identifier.***

**Tournez la page S.V.P.**

*Après la mort d'Alexandre, Eschine, depuis son exil, met en garde les Athéniens contre ceux qui les incitent à se soulever.*

Μηδὲ ῥαψῳδείτωσαν μάτην ἐπαινοῦντες ἡμῶν τοὺς προγόνους τε καὶ τὴν χώραν, ὅτι ἐγένοντο ἐν αὐτῇ καὶ ὑπὲρ αὐτῆς ἠγωνίζοντο οἱ θεοί· ἐπεὶ πύθεσθε αὐτῶν τί ἐν τῇ περὶ Χαιρώνειαν μάχῃ τὴν πόλιν ὤνησε τὴν Ἀθηναίων, ὅτι Ἄρης πρὸς Ποσειδῶνα ὑπὲρ Ἁλιρροθίου ἐν Ἀρείῳ πάγῳ ἐκρίθη. Ἀλλ' εἰ πρὸς Ἀντίπατρον, ἢ ὅστις ἄλλος Μακεδόνων βασιλεύς, ἱκανοί ἐσμεν ἀγωνίσασθαι, τοῦτο χρὴ σκοπεῖν· κἂν ἱκανοὶ ὦμεν, ἀγαθῇ τύχῃ ἀναλαβόντες τὰ ὅπλα εὐθέως ἐλευθερῶμεν τοὺς Ἕλληνας. Εἰ δὲ τούτου μὲν ὀλιγωρήσομεν, κολακευόμενοι δὲ ἡσθησόμεθα, πῶς οὐ μετὰ τοῦ δοκεῖν ἑαυτοῖς αἴτιοι γεγονέναι τῶν συμφορῶν, ὃ μόνον οὐδὲ παραμυθίαν ἔχει τοῖς κακῶς πράττουσιν, ἀτυχήσομεν ; ἔστιν δὲ καὶ πόλεως καὶ ἀνδρὸς εὖ φρονοῦντος ἔργον, ἀεὶ πρὸς τὰς παρούσας ἀφορμὰς ὑπὲρ τῶν παρόντων βουλεύσασθαι· τὸ δὲ τὴν μὲν τόλμαν εἰς τὰ πράγματα, οἷς ἐπιχειρεῖ τις, ἐκ τῆς πρόσθεν ἰσχύος ἔχειν, τὴν δὲ ἰσχὺν πάλαι ποτ' ἐσχηκέναι μεγάλην, ὅμοιά γε φαίνεται, ὥσπερ ἂν εἴ τις Ὀλυμπίασι νικήσας πολλάκις ὕστερον γέρων ὢν ἀπογράφοιτο ἔτι καὶ προκαλοῖτο τοὺς ἀντιπάλους ἀναμιμνῃσκόμενος ἧς ἔσχηκεν, οὐχὶ τῆς παρούσης, δυνάμεως. Ἄξιον δὲ καὶ ἃ λέγειν αὐτοὺς πυνθάνομαι λογίσασθαι μεθ' ὑμῶν, ὡς καινὰ καὶ θαυμαστὸν ὅσον εἰς ἃ βούλονται πρᾶξαι συλλαβεῖν δυνάμενα, φάσκοντας δεῖν ὑμᾶς ὁμονοεῖν, ὥσπερ ὑμᾶς οὐκ ἐπισταμένους ὅτι τοῦτο μὲν πάσῃ πόλει, καὶ πολεμεῖν καὶ εἰρήνην ἄγειν βουλομένῃ, κράτιστόν ἐστιν. Δεῖ δὲ οὐ τοῦτο σκοπεῖν εἰ ὁμονοητέον ὑμῖν πολεμοῦσιν ὑπὲρ τῶν Ἑλλήνων· ὁμονοητέον γὰρ καὶ πολεμοῦσι καὶ μὴ παντὸς εἵνεκα· ἀλλ' εἰ βουλομένοις πολεμεῖν καὶ ὁμονοεῖν, ὡς ἴσμεν ἅπαντες, αὐτάρκης ἐστὶν ἡ δύναμις. Ἕως δ' ἂν μήτε στρατιάς, ἃς πολεμοῦντες ἕξομεν, μήτε χρημάτων πόρους δεικνύωσιν, ἀλλὰ τὴν Ἀθηνᾶν ἔγγυον διδῶσι τοῦ πολέμου, μηδὲν Δημοσθένους διαφέρειν αὐτοὺς αὐτίκα νομίζετε. Ἀλλ' ἐκεῖνον μέν, ὥσπερ ἦν ἄξιος παραπλὴξ τὴν διάνοιαν ὤν, κατελύσατε εἰκότως· τούτοις δὲ ἀποχρησάτω μηδὲν παθεῖν κακὸν παραδόξους λόγους μελετῶσι, καὶ μηδὲ λείψανον ἐῶσιν ἡμῖν τι τῶν πραγμάτων, ἀλλὰ καὶ τούτων φθονοῦσι, πράττειν δ' ἀεὶ βουλομένοις, ἕως ἂν τὸ Θηβαίων πολιτεύσωνται πολίτευμα, μηλόβοτον ἡμῶν γενέσθαι τὴν χώραν καὶ κατασκαφῆναι τὴν πόλιν ἀναγκάσαντες· οὐ γάρ, εἰ κακῶς ἔχει τὰ πράγματα, διὰ τοῦτο μηδέν, ὅπως μὴ χεῖρον ἕξει, φροντιστέον.

ESCHINE, *Lettres*.

IMPRIMERIE NATIONALE – 9 621 – D'après documents fournis partiellement